Ὅτι Παιδίον ἐγεννήθη ἡμῖν, Υἱός, καὶ ἐδόθη ἡμῖν.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστινι ὅριον.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Μεγάλης Βουλῆς Ἄγγελος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Θαυμαστὸς σύμβουλος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Θεὸς ἰσχυρός, Ἐξουσιαστής, Ἄρχων εἰρήνης.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Πατὴρ τοῦ μέλλοντος αἰῶνος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Δόξα...

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ νῦν...

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Μεθ' ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε·

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Господи сил, с нами буди...

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ· ἄλλον γὰρ ἐκτός σου βοηθόν ἐν θλίψεσιν οὐκ ἔχομεν. Κύριε τῶν δυνάμεων, ἐλέησον ἡμᾶς.

Στίχος. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· ἀινεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

ἀνάστασις νεκρων· 22 ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν,
οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζῳοποιηθήσονται. 23 ἕκαστος δὲ ἐν τῷ
ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ
αὐτοῦ· 24 εἶτα τὸ τέλος, ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ
πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.
25 δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρι οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ
τοὺς πόδας αὐτοῦ. 26 ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος· πάντα
γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. 27 ὅταν δὲ εἴπῃ ὅτι πάντα
ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. 28 ὅταν
δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε [καὶ] αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ
ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ θεὸς [τὰ] πάντα ἐν πᾶσιν.

29 Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ ὅλως
νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν; 30 τί καὶ ἡμεῖς
κινδυνεύομεν πᾶσαν ὥραν; 31 καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν
καύχησιν, [ἀδελφοί,] ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. 32 εἰ
κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; εἰ νεκροὶ
οὐκ ἐγείρονται,

Φάγωμεν καὶ πίωμεν,
αὔριον γὰρ ἀποθνήσκομεν.

33 μὴ πλανᾶσθε·

Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.

34 ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν γὰρ θεοῦ τινες
ἔχουσιν· πρὸς ἐντροπὴν ὑμῖν λαλῶ.

35 Ἀλλὰ ἐρεῖ τις, Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι
ἔρχονται; 36 ἄφρων, σὺ ὃ σπείρεις οὐ ζῳοποιεῖται ἐὰν μὴ ἀποθάνῃ· 37
καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις ἀλλὰ γυμνὸν
κόκκον εἰ τύχοι σίτου ἤ τινος τῶν λοιπῶν· 38 ὁ δὲ θεὸς δίδωσιν αὐτῷ
σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα. 39 οὐ
πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ, ἀλλὰ ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ
κτηνῶν, ἄλλη δὲ σὰρξ πτηνῶν, ἄλλη δὲ ἰχθύων. 40 καὶ σώματα
ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλὰ ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων
δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. 41 ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα
σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

42 Οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ,
ἐγείρεται ἐν ἀφθαρσίᾳ· 43 σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ·
σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· 44 σπείρεται σῶμα
ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. εἰ ἔστιν σῶμα ψυχικόν, ἔστιν

25 Καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐν Ἰερουσαλὴμ ᾧ ὄνομα Συμεών, καὶ ὁ
ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ
Ἰσραήλ, καὶ πνεῦμα ἦν ἅγιον ἐπ' αὐτόν· 26 καὶ ἦν αὐτῷ
κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν
[ἢ] ἂν ἴδῃ τὸν Χριστὸν κυρίου. 27 καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ
ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι
αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ 28 καὶ αὐτὸς
ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας καὶ εὐλόγησεν τὸν θεὸν καὶ εἶπεν,

29 Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα,
κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ·
30 ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου
31 ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,
32 φῶς εἰς ἀποκάλυψιν ἐθνῶν
καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

33 καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ θαυμάζοντες ἐπὶ τοῖς
λαλουμένοις περὶ αὐτοῦ. 34 καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπεν
πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ
ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον 35 – καὶ
σοῦ [δὲ] αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία –, ὅπως ἂν
ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

36 Καὶ ἦν Ἅννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη
προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ
τῆς παρθενίας αὐτῆς, 37 καὶ αὐτὴ χήρα ἕως ἐτῶν ὀγδοήκοντα τεσσάρων,
ἣ οὐκ ἀφίστατο τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσιν λατρεύουσα νύκτα
καὶ ἡμέραν. 38 καὶ αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ θεῷ καὶ
ἐλάλει περὶ αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν Ἰερουσαλήμ.

39 Καὶ ὡς ἐτέλεσαν πάντα τὰ κατὰ τὸν νόμον κυρίου, ἐπέστρεψαν
εἰς τὴν Γαλιλαίαν εἰς πόλιν ἑαυτῶν Ναζαρέθ. 40 Τὸ δὲ παιδίον ηὔξανεν
καὶ ἐκραταιοῦτο πληρούμενον σοφίᾳ, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό.

Мк. 1, 1–13.

1 Иоанн Креститель приготовляет путь. 9 Крещение Иисуса; 12 Искушение в пустыне и проповедь в Галилее

1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ [υἱοῦ θεοῦ].
2 Καθὼς γέγραπται ἐν τῷ Ἠσαΐᾳ τῷ προφήτῃ,
Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου,
ὃς κατασκευάσει τὴν ὁδόν σου·

πλησιάζω (dat.) приближаться, подходить
πλησίον близко, вблизи
πλησιόχωρος 2 соседний
πλήττω (σσω) ударять, бить (T.III,1; T.IV)
πλοῖον τό судно, корабль
πλοῦς (πλόος) ὁ плавание
πλούσιος 3 богатый
πλουτίζω обогащать
πλοῦτος ὁ богатство
Πλούτων, ωνος ὁ Плутон, бог подземного царства
πλύνω полоскать, мыть, осыпать
πλωτός 3 плавучий, судоходный
πνεῦμα, τος τό дыхание, дуновение
πνέω дуть
πνίγω душить
ποδήρης 2 доходящий до ног, длинный
ποδώκης 2 быстроногий, быстрый
πόθεν откуда?
ποθεν (энкл.) откуда-нибудь
ποθέω сильно желать
ποῖ куда?
ποι (энкл.) куда-нибудь
ποιέω делать, создавать, творить, измышлять
ποίημα, τος τό произведение, творение, создание
ποίησις, εως ἡ творчество
ποιητής, οῦ ὁ творец, создатель, изобретатель, сочинитель, поэт
ποιητική (τέχνη) ἡ поэтическое искусство
ποιήτρια ἡ поэтесса
ποικιλόθρονος 2 восседающая на расписном троне (Афродита)
ποικίλος 3 пестрый; Ποικίλη στοά ἡ Пестрый портик в Афинах
ποιμήν, ένος ὁ пастух, пастырь
ποῖος 3 какой? (по качеству)
ποιός 3 (энкл.) какой-нибудь
πολέμαρχος ὁ военачальник
Πολέμαρχος ὁ Полемарх, брат оратора Лисия
πολεμέω воевать
πολεμικός 3 военный, боевой
πολέμιος 3 враждебный, враг
πολεμιστήριος 3 военный, боевой
πόλεμος ὁ война, вражда, ссора
πολεύω вспахивать
πολιορκέω осаждать
πολιορκία ἡ осада
πολιός 3 серый, седой
πόλις, εως ἡ полис, город-государство, город
πολιτεία ἡ государственное устройство, гражданство, государство, полития
πολιτεύω быть гражданином, заниматься политикой, управлять государством
πολίτης, ου ὁ гражданин
πολιτικός 3 гражданский, общественный
πολλάκις часто
πολλαπλάσιος 2 многократный, обильный, богатый
πολύ значительно, много
πολύγλωττος (σσος) 2 многоязычный

15. Καὶ ἔλαβεν κύριος ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασεν, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. 16. καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Αδαμ λέγων Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, 17. ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ· ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε.

18. Καὶ εἶπεν κύριος ὁ θεός Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν. 19. καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Αδαμ ἰδεῖν, τί καλέσει αὐτά, καὶ πᾶν, ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Αδαμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. 20. Καὶ ἐκάλεσεν Αδαμ ὀνόματα πᾶσιν τοῖς κτήνεσιν καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ, τῷ δὲ Αδαμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. – 21. καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Αδαμ, καὶ ὕπνωσεν· καὶ ἔλαβεν μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσεν σάρκα ἀντ᾽ αὐτῆς. 22. καὶ ᾠκοδόμησεν κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Αδαμ, εἰς γυναῖκα καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Αδαμ. 23. καὶ εἶπεν Αδαμ Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήμφθη αὕτη. 24. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. 25. καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Αδαμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

III. 1. Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν κύριος ὁ θεός· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί Τί ὅτι εἶπεν ὁ θεός Οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; 2. καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει Ἀπὸ καρποῦ ξύλου τοῦ παραδείσου φαγόμεθα, 3. ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ θεός Οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. 4. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί Οὐ θανάτῳ ἀποθανεῖσθε· 5. ᾔδει γὰρ ὁ θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. 6. καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστιν τοῦ κατανοῆσαι, καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν· καὶ ἔδωκεν καὶ τῷ ἀνδρὶ αὐτῆς μετ᾽ αὐτῆς, καὶ ἔφαγον. 7. καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.

сочетаются с оборотом nominativus cum infinitivo, и притом в личной конструкции: при инфинитиве находится в именительном падеже подлежащее, с которым согласуется в лице и числе управляющий глагол в страдательном залоге. Этот оборот является составным подлежащим.

Οἱ παλαιοὶ Αἰγύπτιοι γῦπας οὐ φονεύειν λέγονται.

Говорят, что древние египтяне не убивали коршунов.

На русский язык предложение с этим оборотом переводится неопределенно-личным управляющим предложением и зависящим от него дополнительным придаточным предложением.

Аналогичный оборот встречается в английском языке.

К обороту nominativus cum infinitivo близка так называемая инфинитивная конструкция: если подлежащее управляющего глагола в действительном или медиальном залоге то же, что и логическое подлежащее инфинитива, то при инфинитиве оно опускается: ὁ στρατιώτης λέγει πείθεσθαι *воин говорит, что (он) повинуется.*

Περὶ γλαυκῶν

Οἱ Ἀθηναῖοι ᾤοντο τοῖς μὲν γυψὶ πρὸ τῆς μάχης παραγιγνομένοις ἧτταν σημαίνεσθαι, ταῖς δὲ γλαυξὶ νίκην. Αἱ Ἀθῆναι μεσταὶ ἦσαν γλαυκῶν· ἡ γὰρ γλαῦξ ἦν ἱερὰ τῆς Ἀθηνᾶς. Τὸ ἐπίσημον ἀργύριον τὸ τῶν Ἀθηναίων τὴν τῆς γλαυκὸς εἰκόνα ἔφερεν.

Ἦν δὲ παροιμία· «Γλαῦκα εἰς Ἀθήνας φέρειν» («Γλαῦκ᾽ Ἀθήναζε»).

Κόραξ καὶ ἀλώπηξ

Κόραξ ἐπὶ κλίμακι ἦν καὶ σάρκας τοῖς ὄνυξι εἶχεν. Ἀλώπηξ τῷ κόρακι τὴν ἄγραν ἐξαρπάζειν ἔθελεν. Προσέρπει οὖν ἡ ἅρπαξ πρὸς τὴν κλίμακα καὶ λέγει, ὡς οἱ κόλακες· «Ὦ κόραξ, ὡς καλὴν μορφὴν ἔχεις. Εἰ καὶ φωνὴν ἔχεις, ἄξιος εἶ οὐ μόνον τῶν ἡλίκων, ἀλλὰ καὶ τῶν ἀετῶν καὶ ἱεράκων καὶ γυπῶν βασιλεύειν».

Ὁ δὲ κόραξ τῷ τοῦ κόλακος ἐπαίνῳ πιστεύει καὶ τὴν φωνὴν ἐκπέμπει. Ἅμα δὲ ἐκ τῶν ὀνύχων αἱ σάρκες ἐκπίπτουσιν ἐπὶ τὴν γῆν. Ἡ δὲ οὖν ἁρπάζει τὰς σάρκας καὶ πρὸς τὸν κόρακα λέγει·«Ὦ κόραξ, φωνὴν μὲν ἔχεις, νοῦν δ᾽ οὔ».

1. Τοῖς Κύκλωψιν ὀφθαλμὸς ἐν μέσῳ τοῦ μετώπου ἦν. 2. Οἱ παλαιοὶ στρατιῶται θώρακας χαλκοῦς ἔφερον. 3. Ἡ παροιμία λέγει·